ΑΘ. Πότερος οὖν ἀμείνων, ὅστις τοὺς μὲν ἀπολέσειεν
αὐτῶν ὅσοι κακοί, τοὺς δὲ βελτίους ἄρχειν αὐτοὺς αὑτῶν e
προστάξειεν, ἢ ὅδε ὃς ἂν τοὺς μὲν χρηστοὺς ἄρχειν, τοὺς
χείρους δ' ἐάσας ζῆν ἄρχεσθαι ἑκόντας ποιήσειεν; τρίτον
δέ που δικαστὴν πρὸς ἀρετὴν εἴπωμεν, εἴ τις εἴη τοιοῦτος
ὅστις παραλαβὼν συγγένειαν μίαν διαφερομένην, μήτε ἀπο-
λέσειεν μηδένα, διαλλάξας δέ, εἰς τὸν ἐπίλοιπον χρόνον 628 a
νόμους αὐτοῖς θείς, πρὸς ἀλλήλους παραφυλάττειν δύναιτο
ὥστε εἶναι φίλους;

ΚΛ. Μακρῷ ἀμείνων γίγνοιτ' ἂν ὁ τοιοῦτος δικαστής τε
καὶ νομοθέτης.

ΑΘ. Καὶ μὴν τοὐναντίον γε ἢ πρὸς πόλεμον ἂν βλέπων
αὐτοῖς τοὺς νόμους διανομοθετοῖ.

ΚΛ. Τοῦτο μὲν ἀληθές.

ΑΘ. Τί δ' ὁ τὴν πόλιν συναρμόττων; πρὸς πόλεμον
αὐτῆς ἂν τὸν ἔξωθεν βλέπων τὸν βίον κοσμοῖ μᾶλλον, ἢ
πρὸς πόλεμον τὸν ἐν αὐτῇ γιγνόμενον ἑκάστοτε, ἣ δὴ b
καλεῖται στάσις; ὃν μάλιστα μὲν ἅπας ἂν βούλοιτο μήτε
γενέσθαι ποτὲ ἐν ἑαυτοῦ πόλει γενόμενόν τε ὡς τάχιστα
ἀπαλλάττεσθαι.

ΚΛ. Δῆλον ὅτι πρὸς τοῦτον.

ΑΘ. Πότερα δὲ ἀπολομένων αὖ τῶν ἑτέρων εἰρήνην τῆς
στάσεως γενέσθαι, νικησάντων δὲ ποτέρων, δέξαιτ' ἄν τις
μᾶλλον, ἢ φιλίας τε καὶ εἰρήνης ὑπὸ διαλλαγῶν γενομένης,
οὕτω τοῖς ἔξωθεν πολεμίοις προσέχειν ἀνάγκην εἶναι τὸν
νοῦν; c

ΚΛ. Οὕτω πᾶς ἂν ἐθέλοι πρότερον ἢ 'κείνως περὶ τὴν
αὑτοῦ γίγνεσθαι πόλιν.

ΑΘ. Οὐκοῦν καὶ νομοθέτης ὡσαύτως;

ΚΛ. Τί μήν;

ΑΘ. Ἆρα οὖν οὐ τοῦ ἀρίστου ἕνεκα πάντα ἂν τὰ νόμιμα
τιθείη πᾶς;